τῆς ψυχῆς ἐστι, δευρὶ δὲ . . . τῶν ἐνυπνίων ἀσπάζεται
καὶ τέθηπε τὸ κάλλιστον καὶ θειότατον.

'ἀμφὶ δέ οἱ δολόεντα φιλόφρονα χεῦεν ὄνειρα,'

πᾶν ἐνταῦθα πειθομένη τὸ καλὸν εἶναι καὶ τίμιον, ἂν μὴ
τύχῃ θείου καὶ σώφρονος Ἔρωτος ἰατροῦ καὶ σωτῆρος,
765 ⟨ὃς ἐνταῦθα μὲν⟩ διὰ σωμάτων ἀφικόμενος ἀγωγὸς | ἐπὶ
τὴν ἀλήθειαν, ἐξ Ἅιδου δ' εἰς 'τὸ ἀληθείας πεδίον', οὗ
τὸ πολὺ καὶ καθαρὸν καὶ ἀψευδὲς ἵδρυται κάλλος, ἀσπά-
σασθαι καὶ συγγενέσθαι διὰ χρόνου ποθοῦντας ἐξανα-
φέρων καὶ ἀναπέμπων εὐμενὴς οἷον ἐν τελετῇ παρέστη
μυσταγωγός. Ἐνταῦθα ⟨δὲ⟩ πάλιν πεμπομένων
αὐτῇ μὲν οὐ πλησιάζει ψυχῇ καθ' ἑαυτήν, ἀλλὰ διὰ σώ-
ματος. ὡς δὲ γεωμέτραι παισὶν οὔπω δυναμένοις ἐφ'
ἑαυτῶν τὰ νοητὰ μυηθῆναι τῆς ἀσωμάτου καὶ ἀπαθοῦς
οὐσίας εἴδη πλάττοντες ἁπτὰ καὶ ὁρατὰ μιμήματα σφαι-
ρῶν καὶ κύβων καὶ δωδεκαέδρων προτείνουσιν, οὕτως
B ἡμῖν ὁ οὐράνιος Ἔρως ἔσοπτρα καλῶν καλά, θνητὰ μέν-
τοι θείων ⟨καὶ ἀπαθῶν⟩ παθητὰ καὶ νοητῶν αἰσθητὰ
μηχανώμενος ἔν τε σχήμασι καὶ χρώμασι καὶ εἴδεσι
νέων ὥρᾳ στίλβοντα δείκνυσι καὶ κινεῖ τὴν μνήμην ἀτρέμα
διὰ τούτων ἀναφλεγομένην τὸ πρῶτον. ὅθεν διὰ σκαιότη-
τας ἔνιοι φίλων καὶ οἰκείων σβεννύναι πειρώμενοι βίᾳ